χρήματα ἀποστέλλειν φημὶ δεῖν· καὶ τἄλλα
ὅσα ἀξιοῦσι ποιεῖν· αὐτοὺς δὲ παρασκευάζεσθαι·
τοὺς δ' ἄλλους Ἕλληνας συγκαλεῖν· συνάγειν· διδά-
σκειν· νουθετεῖν· ταῦτ' ἐστὶ πόλεως ἀξίωμα ἐ-
χούσης· ἡλίκον ὑμῖν ὑπάρχει· εἰ δ' οἴεσθε χαλκι-
δέας τὴν Ἑλλάδα σώσειν· ἢ μεγαρέας· ὑμεῖς δ' ἀ-
ποδράσεσθαι τὰ πράγματα· οὐκ ὀρθῶς οἴεσθε·
ἀγαπητὸν γὰρ ἂν αὐτοῖς σώζωνται τούτων ἕκαστ(οι)·
ἀλλ' ὑμῖν τοῦτο πρακτέον· ὑμῖν οἱ πρόγονοι τοῦτο
τὸ γέρας ἐκτήσαντο καὶ κατέλιπον μετὰ πολλῶν
καὶ καλῶν καὶ μεγάλων κινδύνων· εἰ δ' ὃ βούλεται
ζητῶν ἕκαστος καθεδεῖται· καὶ ὅπως μηδὲν αὐτὸς
ποιήσει σκοπῶν· πρῶτον μὲν οὐδὲ μή ποθ' εὕρῃ τοὺς
ποιήσοντας· ἔπειτα δέδοικα ὅπως μὴ πάνθ' ἅμα
ὅσα μὴ βουλόμεθα ποιεῖν ἡμῖν ἀνάγκη γένηται·
ἐγὼ μὲν δὴ ταῦτα λέγω· ταῦτα γράφω· καὶ οἴομαι καὶ
νῦν ἔτι ἐπανορθωθῆναι ἂν τὰ πράγματα τούτ(ων)
γιγνομένων· εἰ δέ τις ἔχει τούτων τι βέλτιον· λεγέτω
καὶ συμβουλευέτω· ὅ τι δ' ὑμῖν δόξει· τοῦτ' ὦ πάν-
τες θεοὶ συνενέγκοι·

κατὰ φιλίππου λόγος δ' ὑπόθεσις·

Καὶ οὗτος τὴν αὐτὴν ὑπόθεσιν ἔχει τῷ φθάνοντι·
καὶ πλέον οὐδὲν ἴδιον· πλὴν περὶ τῆς ὁμονοί(ας)